siquidem continet iustum Respublicas, idémque est iustum, quod proportionale. At quoniam ædificator suo opere plura meretur, quàm eo quod sutor præstat: difficile quoque erat, vt ædificator cum sutore facerent permutationem: neque enim pro calceis par fuerit domum capere. Hic jam instituerunt, quò hæc omnia venalia sint, argento vti, quod numisma vocant: vt pro æstimatione & pretio cuiuslibet, fiat inter ipsos inuicē contrahentes permutatio, quæ ciuilem communicationem contineat. Cùm igitur in his, & quæ proximè dicta sunt, iustum sit, erit iustitia quæ circa hæc consistit, cum delectu ex habitu impulsum nacta. Est verò etiam Talio ius: non tamen vt aiebant Pythagorici: rati nanque illi sunt, iustum esse, vbi quæ quis effecisset, eadem essent talionis vice ferenda, quod erga omnes non est idem. Neque enim iustum, eadem seruo aduersus ingenuum ferre: quandoquidem si seruus ingenuum ceciderit: iustum non fit ex altera parte tantum cædi, sed impensius: nam & ipse talio, ius est proportione constans: Nam quemadmodum ingenuus aduersus seruum habet, eo longè præstantior, eadem ratione rependendum est, quod ipse fecerit prior. Itidem etiam ingenuo, aduersus ingenuum erit. Nec enim iustum est vt qui oculum eruerit, ei tantùm talionis pœna infligatur, sed multò plura ferat, proportionis cōsecutione: quandoquidem & cœpit prior, & affecit iniuria. Atqui vtrinque illata iniuria est: & proinde proportionale est, vt ob iniurias etiam plura ferat, quàm fecerit: ídque iusti exigit ratio. Verùm quoniam multis modis iustum, vel ius potius dicitur, definiendum fuerit de quonam demum iusto sit nobis disceptatio. Est nimirum (vt perhibent) iustum seruo aduersus dominum, & filio aduersus patrem. In quibus æquiuoco nomine iustum ciuile dici videbatur. Est nanque iustum (de quo nunc loquimur) ciuile iustum. Id propemodum in ipsa æqualitate positum. Politici enim communionem quando inter se habent, & natura quidem consimiles esse volunt, diuersi verò more. At filio erga patrem, esse seruo erga dominū, ius vllum non esse videbitur. Neque enim pedi aduersum me, neque manui, neque itidem alicui membro, similiter igitur habere videbitur & filius erga patrem.

A καὶ συνέχει δὴ ἡ αὐτὴ ἀναλογία τὴν πολιτείαν. ὥστε τὸ δίκαιον ἔοικεν εἶναι τὸ ἀνάλογον. τὸ γὰρ δίκαιον συνέχει τὰς πολιτείας· τὸ αὐτὸ δή ἐστι τὸ δίκαιον τῷ ἀνάλογον. ἐπεὶ δὲ ὁ οἰκοδόμος πλείονος ἄξιον ποιεῖ τὸ αὐτοῦ ἔργον ἢ ὁ σκυτεύς, καὶ τὸ ἔργον ἀντικαταλλάττεσθαι καὶ τῷ σκυτεῖ πρὸς τὸν οἰκοδόμον, ἀνθ' ὑποδημάτων δὴ οὐκ ἦν οἰκίαν λαβεῖν, B ἐνταῦθα ἤδη ἐνόμισαν ταῦτα πάντα ὠνητά, καί τι ἀργύριον προσαγορεύσαντες νόμισμα, τούτῳ χρῆσθαι, καὶ πρὸς τὴν ἀξίαν ἕκαστον ἑκάστου διδόντας, τὴν ἀλλαξιν ποιεῖσθαι παρ' ἀλλήλων, καὶ τούτῳ τὴν πολιτικὴν κοινωνίαν συνέχειν. ἐπεὶ οὖν τὸ δίκαιόν ἐστιν ἐν τούτοις καὶ τοῖς εἰρημένοις ἔμπρο- C σθεν, ἡ περὶ ταῦτα δικαιοσύνη ἂν εἴη τῇ ἕξει ὁρμὴν ἔχουσα μετὰ προαιρέσεως περὶ ταῦτα καὶ ἐν τούτοις. ἔστι δὲ δίκαιον καὶ τὸ ἀντιπεπονθός. οὐ μέντοι γε ὡς οἱ Πυθαγόρειοι ἔλεγον· ἐκεῖνοι μὲν γὰρ ᾤοντο δίκαιον εἶναι, ἃ ἐποίησέ τις, ταῦτα ἀντιπαθεῖν. τὸ δὴ τοιοῦτον, οὐκ ἔστιν πρὸς ἅπαντας. οὐ γὰρ ἐστὶ δίκαιον οἰκέτῃ πρὸς ἐλεύθερον ταὐτόν· ὁ οἰ- D κέτης γὰρ ἐὰν πατάξῃ τὸν ἐλεύθερον, οὐκ ἔστι δίκαιος ἀντιπληγῆναι, ἀλλὰ πολλάκις. καὶ τὸ ἀντιπεπονθὸς δέ, δίκαιόν ἐστιν ἐν τῷ ἀνάλογον. ὡς γὰρ ὁ ἐλεύθερος ἔχει πρὸς τὸν δοῦλον τῷ βελτίων εἶναι, οὕτως τὸ ἀντιποιῆσαι πρὸς τὸ ποιῆσαι. ὁμοίως δὲ καὶ ἐλευθέρῳ πρὸς ἐλεύθερον ἕξει. οὐ γὰρ δίκαιον, εἴ τις τὸν ὀφθαλμὸν ἐξέκοψέ τινος, ἀντ' ἐκκοπῆναι μόνον, ἀλλὰ πλείονα παθεῖν, ἀκολουθήσαντα τῇ E ἀναλογίᾳ, καὶ γὰρ ἦρξε πρότερος καὶ ἠδίκησεν. ἀδικεῖ δὲ κατ' ἀμφότερα. ὥστε ἀνάλογον καὶ τὰ ἀδικήματα, καὶ τὸ ἀντιπαθεῖν πλείω ὧν ἐποίησε, δίκαιόν ἐστι. ἐπεὶ δὲ τὸ δίκαιον πολλαχῶς λέγεται, διοριστέον ἂν εἴη περὶ ποίου δικαίου ἐστὶν ἡ ἐπίσκεψις. ἔστι δὲ δίκαιον τό, ὥς φασιν, οἰκέτῃ πρὸς δεσπότην, καὶ υἱῷ πρὸς πατέρα. τὸ δ' ἐν τούτοις δίκαιον ὁμωνύμως ἂν δόξειεν λέγεσθαι τῷ πολιτικῷ δικαίῳ. ἔστι γὰρ δίκαιον περὶ F οὗ ἐστιν ἡ σκέψις, τὸ πολιτικὸν δίκαιον. τοῦτο γὰρ μάλιστά ἐστιν ἐν ἰσότητι. κοινωνοὶ γὰρ οἱ πολιτικοί τινες, καὶ ὅμοιοι βούλονται εἶναι τῇ φύσει, τῷ δὲ τρόπῳ ἕτεροι. τῷ δὲ υἱῷ πρὸς πατέρα, καὶ οἰκέτῃ πρὸς δεσπότην, οὐκ ἂν δόξειεν εἶναι δίκαιον οὐδέν. οὔτε γὰρ τῷ ποδὶ τῷ ἐμῷ πρὸς ἐμέ, οὔτε τῇ χειρί. ὁμοίως δ' οὐδ' ἑκάστῳ τῶν μορίων. ὡσαύτως δ' ἂν δόξειεν ἔχειν καὶ ὁ υἱὸς πρὸς

πατέ-